# ΘΡΗΝΟΙ ΙΕΡΕΜΙΟΥ

ΚΑΙ ἐγένετο μετὰ τὸ αἰχμαλωσθῆναι τὸν Ἰσραήλ, καὶ Ἱερουσαλὴμ ἐρημωθῆναι, ἐκάθισεν Ἱερεμίας κλαίων, καὶ ἐθρήνησε τὸν θρῆνον τοῦτον ἐπὶ Ἱερουσαλὴμ καὶ εἶπε·

1 Πῶς ἐκάθισε μόνη ἡ πόλις ἡ
πεπληθυμμένη λαῶν; ἐγενήθη ὡς χήρα
πεπληθυμμένη ἐν ἔθνεσιν, ἄρχουσα ἐν
χώραις ἐγενήθη εἰς φόρον.
2 Κλαίουσα ἔκλαυσεν ἐν νυκτί, καὶ τὰ
δάκρυα αὐτῆς ἐπὶ τῶν σιαγόνων αὐτῆς, καὶ
οὐχ ὑπάρχει ὁ παρακαλῶν αὐτὴν ἀπὸ πάντων
τῶν ἀγαπώντων αὐτήν· πάντες οἱ φιλοῦντες
αὐτὴν ἠθέτησαν ἐν αὐτῇ, ἐγένοντο αὐτῇ εἰς
ἐχθρούς.
3 Μετῳκίσθη Ἰουδαία ἀπὸ ταπεινώσεως
αὐτῆς καὶ ἀπὸ πλήθους δουλείας αὐτῆς·
ἐκάθισεν ἐν ἔθνεσιν, οὐχ εὗρεν ἀνάπαυσιν·
πάντες οἱ καταδιώκοντες αὐτὴν κατέλαβον
αὐτὴν ἀναμέσον τῶν θλιβόντων.
4 Ὁδοὶ Σιὼν πενθοῦσι παρὰ τὸ μὴ εἶναι
ἐρχομένους ἐν ἑορτῇ· πᾶσαι αἱ πύλαι αὐτῆς
ἠφανισμέναι, οἱ ἱερεῖς αὐτῆς
ἀναστενάζουσιν, αἱ παρθένοι αὐτῆς
ἀγόμεναι, καὶ αὐτὴ πικραινομένη ἐν ἑαυτῇ.
5 Ἐγένοντο οἱ θλίβοντες αὐτὴν εἰς
κεφαλήν, καὶ οἱ ἐχθροὶ αὐτῆς εὐθηνοῦσαν,
ὅτι Κύριος ἐταπείνωσεν αὐτὴν ἐπὶ τὸ πλῆθος

τῶν ἀσεβειῶν αὐτῆς· τὰ νήπια αὐτῆς ἐπορεύθησαν ἐν αἰχμαλωσίᾳ κατὰ πρόσωπον θλίβοντος.
6 Καὶ ἐξῃ£ρθη ἐκ θυγατρὸς Σιὼν πᾶσα ἡ
εὐπρέπεια αὐτῆς· ἐγένοντο οἱ ἄρχοντες αὐτῆς ὡς κριοὶ οὐχ εὑρίσκοντες νομὴν καὶ ἐπορεύοντο ἐν οὐκ ἰσχύϊ κατὰ πρόσωπον διώκοντος.
7 Ἐμνήσθη Ἱερουσαλὴμ ἡμερῶν
ταπεινώσεως αὐτῆς καὶ ἀπωσμῶν αὐτῆς· πάντα τὰ ἐπιθυμήματα αὐτῆς, ὅσα ἦν ἐξ ἡμερῶν ἀρχαίων, ἐν τῷ πεσεῖν τὸν λαὸν αὐτῆς εἰς χεῖρας θλίβοντος καὶ οὐκ ἦν ὁ βοηθῶν αὐτῇ, ἰδόντες οἱ ἐχθροὶ αὐτῆς ἐγέλασαν ἐπὶ μετοικεσίᾳ αὐτῆς.
8 Ἁμαρτίαν ἥμαρτεν Ἰερουσαλήμ, διὰ τοῦτο
εἰς σάλον ἐγένετο· πάντες οἱ δοξάζοντες αὐτὴν ἐταπείνωσαν αὐτήν, εἶδον γὰρ τὴν ἀσχημοσύνην αὐτῆς, καί γε αὐτὴ στενάζουσα καὶ ἀπεστράφη ὀπίσω.
9 Ἀκαθαρσία αὐτῆς πρὸς ποδῶν αὐτῆς, οὐκ
ἐμνήσθη ἔσχατα αὐτῆς· καὶ κατεβίβασεν ὑπέρογκα, οὐκ ἔστιν ὁ παρακαλῶν αὐτήν· ἰδέ, Κύριε, τὴν ταπείνωσίν μου, ὅτι ἐμεγαλύνθη ὁ ἐχθρός.
10 Χεῖρα αὐτοῦ ἐξεπέτασε θλίβων ἐπὶ πάντα
τὰ ἐπιθυμήματα αὐτῆς· εἶδε γὰρ ἔθνη εἰσελθόντα εἰς τὸ ἁγίασμα αὐτῆς, ἃ ἐνετείλω μὴ εἰσελθεῖν αὐτὰ εἰς ἐκκλησίαν σου.
11 Πᾶς ὁ λαὸς αὐτῆς καταστενάζοντες,
ζητοῦντες ἄρτον, ἔδωκαν τὰ ἐπιθυμήματα

αὐτῆς ἐν βρώσει τοῦ ἐπιτστρέψαι ψυχήν· ἰδέ,
Κύριε, καὶ ἐπίβλεψον, ὅτι ἐγενήθη ἠτιμωμένη.
12 Οἱ πρὸς ὑμᾶς πάντες παραπορευόμενοι
ὁδόν, ἐπιστρέψατε καὶ ἴδετε εἰ ἔστιν ἄλγος
κατὰ τὸ ἄλγος μου, ὃ ἐγενήθη· φθεγξάμενος
ἐν ἐμοὶ ἐταπείνωσέ με Κύριος ἐν ἡμέρᾳ ὀργῆς
θυμοῦ αὐτοῦ.
13 Ἐξ ὕψους αὐτοῦ ἀπέστειλε πῦρ, ἐν τοῖς
ὀστέοις μου κατήγαγεν αὐτό· διεπέτασε
δίκτυον τοῖς ποσί μου, ἀπέστρεψέ με εἰς τὰ
ὀπίσω, ἔδωκέ με ἠφανισμένην, ὅλην τὴν
ἡμέραν ὠδυνωμένην.
14 Ἐγρηγορήθη ἐπὶ τὰ ἀσεβήματά μου· ἐν
χερσί μου συνεπλάκησαν, ἀνέβησαν ἐπὶ τὸν
τράχηλόν μου· ἠσθένησεν ἡ ἰσχύς μου, ὅτι
ἔδωκε Κύριος ἐν χερσί μου ὀδύνας, οὐ
δυνήσομαι στῆναι.
15 Ἐξῆρε πάντας τοὺς ἰσχυρούς μου ὁ
Κύριος ἐκ μέσου μου, ἐκάλεσεν ἐπ' ἐμὲ
καιρὸν τοῦ συντρίψαι ἐκλεκτούς μου· ληνὸν
ἐπάτησε Κύριος παρθένῳ θυγατρὶ Ἰούδα, ἐπὶ
τούτοις ἐγὼ κλαίω.
16 Ὁ ὀφθαλμός μου κατήγαγεν ὕδωρ, ὅτι
ἐμακρύνθη ἀπ' ἐμοῦ ὁ παρακαλῶν με, ὁ
ἐπιστρέφων ψυχήν μου· ἐγένοντο οἱ υἱοί μου
ἠφανισμένοι, ὅτι ἐκραταιώθη ὁ ἐχθρός.
17 Διεπέτασε Σιὼν χεῖρας αὐτῆς, οὐκ ἔστιν
ὁ παρακαλῶν αὐτήν· ἐνετείλατο Κύριος τῷ
Ἰακώβ, κύκλῳ αὐτοῦ οἱ θλίβοντες αὐτόν,
ἐγενήθη Ἱερουσαλὴμ εἰς ἀποκαθημένην
ἀναμέσον αὐτῶν.
18 Δίκαιός ἐστι Κύριος, ὅτι τὸ στόμα αὐτοῦ

παρεπίκραναν· ἀκούσατε δή, πάντες οἱ λαοί,
καὶ ἴδετε τὸ ἄλγος μου· παρθένοι μου καὶ
νεανίσκοι μου ἐπορεύθησαν ἐν αἰχμαλωσίᾳ.
19 Ἐκάλεσα τοὺς ἐραστάς μου, αὐτοὶ δὲ
παρελογίσαντό με· οἱ ἱερεῖς μου καὶ οἱ
πρεσβύτεροί μου ἐν τῇ πόλει ἐξέλιπον, ὅτι
ἐζήτησαν βρῶσιν αὐτοῖς, ἵνα ἐπιστρέψωσι
ψυχὰς αὐτῶν, καὶ οὐχ εὗρον.
20 Ἰδέ, Κύριε, ὅτι θλίβομαι· ἡ κοιλία μου
ἐταράχθη, καὶ ἡ καρδία μου ἐστράφη ἐν ἐμοί,
ὅτι παραπικραίνουσα παρεπικράνθην·
ἔξωθεν ἠτέκνωσέ με μάχαιρα ὥσπερ θάνατος
ἐν οἴκῳ.
21 Ἀκούσατε δή, ὅτι στενάζω ἐγώ, οὐκ ἔστιν
ὁ παρακαλῶν με· πάντες οἱ ἐχθροί μου
ἤκουσαν τὰ κακά μου καὶ ἐχάρησαν, ὅτι σὺ
ἐποίησας· ἐπήγαγες ἡμέραν, ἐκάλεσας
καιρόν, ἐγένοντο ὅμοιοι ἐμοί.
22 Εἰσέλθοι πᾶσα ἡ κακία αὐτῶν κατὰ
πρόσωπόν σου, καὶ ἐπιφύλλισον αὐτοῖς, ὃν
τρόπον ἐποίησαν ἐπιφυλλίδα περὶ πάντων
τῶν ἁμαρτημάτων μου, ὅτι πολλοὶ οἱ
στεναγμοί μου, καὶ καρδία μου λυπεῖται.

## 2

1 ΠΩΣ ἐγνόφωσεν ἐν ὀργῇ αὐτοῦ Κύριος
τὴν θυγατέρα Σιών; κατέρριψεν ἐξ οὐρανοῦ
εἰς γῆν δόξασμα Ἰσραήλ, καὶ οὐκ ἐμνήσθη
ὑποποδίου ποδῶν αὐτοῦ ἐν ἡμέρᾳ ὀργῆς
αὐτοῦ.
2 Κατεπόντισε Κύριος οὐ φεισάμενος πάντα
τὰ ὡραῖα Ἰακώβ, καθεῖλεν ἐν θυμῷ αὐτοῦ τὰ

ὀχυρώματα τῆς θυγατρὸς Ἰούδα, ἐκόλλησεν
εἰς τὴν γῆν, ἐβεβήλωσε βασιλέα αὐτῆς καὶ
ἄρχοντας αὐτῆς.
3 Συνέκλασεν ἐν ὀργῇ θυμοῦ αὐτοῦ πᾶν
κέρας Ἰσραήλ, ἀπέστρεψεν ὀπίσω δεξιὰν
αὐτοῦ ἀπὸ προσώπου ἐχθροῦ καὶ ἀνῆψεν ἐν
Ἰακὼβ ὡς πῦρ φλόγα, καὶ κατέφαγε πάντα τὰ
κύκλῳ.
4 Ἐνέτεινε τόξον αὐτοῦ ὡς ἐχθρός,
ἐστερέωσε δεξιὰν αὐτοῦ ὡς ὑπεναντίος καὶ
ἀπέκτεινε πάντα τὰ ἐπιθυμήματα τῶν
ὀφθαλμῶν μου ἐν σκηνῇ θυγατρὸς Σιών,
ἐξέχεεν ὡς πῦρ τὸν θυμὸν αὐτοῦ.
5 Ἐγενήθη Κύριος ὡς ἐχθρός, κατεπόντισεν
Ἰσραήλ, κατεπόντισε πάσας τὰς βάρεις
αὐτῆς, διέφθειρε τὰ ὀχυρώματα αὐτοῦ καὶ
ἐπλήθυνε τῇ θυγατρὶ Ἰούδα ταπεινουμένην
καὶ τεταπεινωμένην.
6 Καὶ διεπέτασεν ὡς ἄμπελον τὸ σκήνωμα
αὐτοῦ, διέφθειρεν ἑορτὴν αὐτοῦ· ἐπελάθετο
Κύριος ἃ ἐποίησεν ἐν Σιὼν ἑορτῆς καὶ
σαββάτου καὶ παρώξυνεν ἐμβριμήματι ὀργῆς
αὐτοῦ βασιλέα καὶ ἱερέα καὶ ἄρχοντα.
7 Ἀπώσατο Κύριος θυσιαστήριον αὐτοῦ,
ἀπετίναξεν ἁγίασμα αὐτοῦ, συνέτριψεν ἐν
χειρὶ ἐχθροῦ τεῖχος βάρεων αὐτῆς· φωνὴν
ἔδωκαν ἐν οἴκῳ Κυρίου ὡς ἐν ἡμέρᾳ ἑορτῆς.
8 Καὶ ἐπέστρεψε Κύριος τοῦ διαφθεῖραι
τεῖχος θυγατρὸς Σιών· ἐξέτεινε μέτρον, οὐκ
ἀπέστρεψε χεῖρα αὐτοῦ ἀπὸ καταπατήματος,
καὶ ἐπένθησε τὸ προτείχισμα, καὶ τεῖχος

ὁμοθυμαδὸν ἠσθένησεν.
9 Ἐνεπάγησαν εἰς γῆν πύλαι αὐτῆς,
ἀπώλεσε καὶ συνέτριψε μοχλοὺς αὐτῆς·
βασιλέα αὐτῆς καὶ ἄρχοντα αὐτῆς ἐν τοῖς
ἔθνεσιν· οὐκ ἔστι νόμος, καί γε προφῆται
αὐτῆς οὐκ εἶδον ὅρασιν παρὰ Κυρίου.
10 Ἐκάθισαν εἰς τὴν γῆν, ἐσιώπησαν
πρεσβύτεροι θυγατρὸς Σιών, ἀνεβίβασαν
χοῦν ἐπὶ τὴν κεφαλὴν αὐτῶν, περιεζώσαντο
σάκκους, κατήγαγον εἰς γῆν ἀρχηγοὺς
παρθένους ἐν Ἱερουσαλήμ.
11 Ἐξέλιπον ἐν δάκρυσιν οἱ ὀφθαλμοί μου,
ἐταράχθη ἡ καρδία μου, ἐξεχύθη εἰς τὴν γῆν ἡ
δόξα μου ἐπὶ τὸ σύντριμμα τῆς θυγατρὸς τοῦ
λαοῦ μου ἐν τῷ ἐκλείπειν νήπιον καὶ
θηλάζοντα ἐν πλατείαις πόλεως.
12 Ταῖς μητράσιν αὐτῶν εἶπαν· ποῦ σῖτος
καὶ οἶνος; ἐν τῷ ἐκλύεσθαι αὐτοὺς ὡς
τραυματίας ἐν πλατείαις πόλεως, ἐν τῷ
ἐκχεῖσθαι αὐτοὺς ὡς τραυματίας ἐν
πλατείαις πόλεως, ἐν τῷ ἐκχεῖσθαι ψυχὰς
αὐτῶν εἰς κόλπον μητέρων αὐτῶν.
13 Τί μαρτυρήσω σοι ἢ τί ὁμοιώσω σοι,
θύγατερ Ἱερουσαλήμ; τίς σώσει σε καὶ
παρακαλέσει σε, παρθένος θύγατερ Σιών; ὅτι
ἐμεγαλύνθη ποτήριον συντριβῆς σου· τίς
ἰάσεταί σε;
14 Προφῆταί σου εἴδοσάν σοι μάταια καὶ
ἀφροσύνην καὶ οὐκ ἀπεκάλυψαν ἐπὶ τὴν
ἀδικίαν σου τοῦ ἐπιστρέψαι αἰχμαλωσίαν
σου, καὶ εἴδοσάν σοι λήμματα μάταια καὶ

ἐξώσματα.
15 Ἐκρότησαν ἐπὶ σὲ χεῖρας πάντες οἱ
παραπορευόμενοι ὁδόν, ἐσύρισαν καὶ
ἐκίνησαν τὴν κεφαλὴν αὐτῶν ἐπὶ τὴν
θυγατέρα Ἱερουσαλήμ· αὕτη ἡ πόλις, ἐροῦσι,
στέφανος εὐφροσύνης πάσης τῆς γῆς.
16 Διήνοιξαν ἐπὶ σὲ στόμα αὐτῶν πάντες οἱ
ἐχθροί σου, ἐσύρισαν καὶ ἔβρυξαν ὀδόντας,
καὶ εἶπαν· κατεπίομεν αὐτήν, πλὴν αὕτη ἡ
ἡμέρα, ἣν προσεδοκῶμεν, εὕρομεν αὐτήν,
εἴδομεν.
17 Ἐποίησε Κύριος ἃ ἐνεθυμήθη, συνετέλεσε
ρήματα αὐτοῦ, ἃ ἐνετείλατο ἐξ ἡμερῶν
ἀρχαίων, καθεῖλε καί οὐκ ἐφείσατο, καὶ
ηὔφρανεν ἐπὶ σὲ ἐχθρόν, ὕψωσε κέρας
θλίβοντός σε.
18 Ἐβόησε καρδία αὐτῶν πρὸς Κύριον· τείχη
Σιών, καταγάγετε ὡς χειμάρρους δάκρυα
ἡμέρας καὶ νυκτός· μὴ δῷς ἔκνηψιν σεαυτῇ,
μὴ σιωπήσαιτο, θύγατερ, ὁ ὀφθαλμός σου.
19 Ἀνάστα, ἀγαλλίασαι ἐν νυκτὶ εἰς ἀρχὰς
φυλακῆς σου, ἔκχεον ὡς ὕδωρ καρδίαν σου
ἀπέναντι προσώπου Κυρίου, ἆρον πρὸς αὐτὸν
χεῖράς σου περὶ ψυχῆς νηπίων σου τῶν
ἐκλυομένων λιμῷ ἐπ' ἀρχῆς πασῶν ἐξόδων.
20 Ἰδέ, Κύριε, καὶ ἐπίβλεψον τίνι
ἐπφφύλλισας οὕτως· εἰ φάγονται γυναῖκες
καρπὸν κοιλίας αὐτῶν; ἐπιφυλλίδα ἐποίησε
μάγειρος· φονευθήσονται νήπια θηλάζοντα
μαστούς; ἀποκτενεῖς ἐν ἁγιάσματι Κυρίου
ἱερέα καὶ προφήτην;

21 Ἐκοιμήθησαν εἰς τὴν ἔξοδον παιδάριον
καὶ πρεσβύτης. παρθένοι μου καὶ νεανίσκοι
μου ἐπορεύθησαν ἐν αἰχμαλωσίᾳ· ἐν ρομφαίᾳ
καὶ ἐν λιμῷ ἀπέκτεινας, ἐν ἡμέρᾳ ὀργῆς σου
ἐμαγείρευσας, οὐκ ἐφείσω.
22 Ἐκάλεσεν ἡμέραν ἑορτῆς παροικίας μου
κυκλόθεν, καὶ οὐκ ἐγένοντο ἐν ἡμέρᾳ ὀργῆς
Κυρίου ἀνασῳζόμενος καὶ καταλελειμμένος,
ὡς ἐπεκράτησα καὶ ἐπλήθυνα ἐχθρούς μου
πάντας.

# 3

1 ΕΓΩ ἀνὴρ ὁ βλέπων πτωχείαν ἐν ράβδῳ
θυμοῦ αὐτοῦ ἐπ' ἐμέ·
2 παρέλαβέ με καὶ ἀπήγαγέ με εἰς σκότος
καὶ οὐ φῶς,
3 πλὴν ἐν ἐμοὶ ἐπέστρεψε χεῖρα αὐτοῦ ὅλην
τὴν ἡμέραν.
4 Ἐπαλαίωσε σάρκα μου καὶ δέρμα μου,
ὀστέα μου συνέτριψεν·
5 ἀῳκοδόμησε κατ' ἐμοῦ καὶ ἐκύκλωσε
κεφαλήν μου καὶ ἐμόχθησεν,
6 ἐν σκοτεινοῖς ἐκάθισέ με ὡς νεκροὺς
αἰῶνος.
7 Ἀνῳκοδόμησε κατ' ἐμοῦ, καὶ οὐκ
ἐξελεύσομαι, ἐβάρυνε χαλκόν μου·
8 καί γε κεκράξομαι καὶ βοήσω, ἀπέφραξε
προσευχήν μου·
8 καί γε κεκράξομαι καὶ βοήσω, ἀπέφραξε
προσευχήν μου·
9 ἀνῳκοδόμησεν ὁδούς μου, ἐνέφραξε
τρίβους μου, ἐτάραξεν.

10 Ἄρκος ἐνεδρεύουσα αὐτός μοι, λέων ἐν
κρυφαίοις·
11 κατεδίωξεν ἀφεστηκότα καὶ κατέπαυσέ
με, ἔθετό με ἠφανισμένην.
12 ἐνέτεινε τόξον αὐτοῦ καὶ ἐστήλωσέ με
ὡς σκοπὸν εἰς βέλος.
13 Εἰσήγαγεν ἐν τοῖς νεφροῖς μου ἰοὺς
φαρέτρας αὐτοῦ·
14 ἐγενήθην γέλως παντὶ λαῷ μου, ψαλμὸς
αὐτῶν ὅλην τὴν ἡμέραν·
15 ἐχόρτασέ με πικρίας, ἐμέθυσέ με χολῆς.
16 Καὶ ἐξέβαλε ψήφῳ ὀδόντας μου, ἐψώμισέ
με σποδόν·
17 καὶ ἀπώσατο ἐξ εἰρήνης ψυχήν μου,
18 ἐπελαθόμην ἀγαθά, καὶ εἶπα· ἀπώλετο
νῖκός μου καὶ ἡ ἐλπίς μου ἀπὸ Κυρίου.
19 Ἐμνήσθην ἀπὸ πτωχείας μου καὶ
ἐκδιωγμοῦ μου πικρίας καὶ χολῆς μου.
206 μνησθήσεται καὶ καταδολεσχήσει ἐπ'
ἐμὲ ἡ ψυχή μου·
21 ταύτην τάξω εἰς τὴν καρδίαν μου, διὰ
τοῦτο ὑπομενῶ.
22 Τὰ ἐλέη Κυρίου, ὅτι οὐκ ἐξέλιπέμε, ὅτι
οὐσυνετελέσθησαν οἱ οἰκτιρμοὶ αὐτοῦ· μῆνας
εἰς τὰς πρωΐας ἐλέησον, Κύριε, ὅτι οὐ
συνετελέσθημεν, ὅτι οὐ συνετελέσθησαν οἱ
οἰκτιρμοὶ αὐτοῦ.
23 καινὰ εἰς τὰς πρωΐας, πολλὴ ἡ πίστις
σου.
24 μερίς μου Κύριος, εἶπεν ἡ ψυχή μου· διὰ
τοῦτο ὑπομενῶ αὐτῷ.

25 Ἀγαθὸς Κύριος τοῖς ὑπομένουσιν αὐτόν,
ψυχὴ ᾗ ζητήσει αὐτὸν ἀγαθὸν
26 καὶ ὑπομεννεῖ καὶ ἡσυχάσει εἰς τὸ
σωτήριον Κυρίου.
27 ἀγαθὸν ἀνδρί, ὅταν ἄρῃ ζυγὸν ἐν νεότητι
αὐτοῦ.
28 Καθήσεται κατὰ μόνας καὶ σιωπήσεται,
ὅτι ᾖρεν ἐφ' ἑαυτῷ·
30 δώσει τῷ παίοντι αὐτὸν σιαγόνα,
χορτασθήσεται ὀνειδισμῶν.
31 ¨Οτι οὐκ εἰς τὸν αἰῶνα ἀπώσεται Κύριος.
32 ὅτι ὁ ταπεινώσας οἰκτειρήσει κατὰ τὸ
πλῆθος τοῦ ἐλέους αὐτοῦ·
33 ὅτι οὐκ ἀπεκρίθη ἀπὸ καρδίας αὐτοῦ καὶ
ἐταπείνωσεν υἱοὺς ἀνδρός.
34 Τοῦ ταπεινῶσαι ὑπὸ τοὺς πόδας αὐτοῦ
πάντας δεσμίους γῆς,
35 τοῦ ἐκκλῖναι κρίσιν ἀνδρὸς κατέναντι
προσώπου Ὑψίστου,
36 καταδικάσαι ἄνθρωπον ἐν τῷ κρίνεσθαι
αὐτὸν Κύριος οὐκ εἶπε.
37 Τίς οὕτως εἶπε, καὶ ἐγενήθη; Κύριος οὐκ
ἐνετείλατο.
38 ἐκ στόματος Ὑψίστου οὐκ ἐξελεύσεται
τὰ κακὰ καὶ τὸ ἀγαθόν;
39 τί γογγύσει ἄνθρωπος ζῶν, ἀνὴρ περὶ τῆς
ἁμαρτίας αὐτοῦ;
40 Ἐξηρευνήθη ἡ ὁδὸς ἡμῶν καὶ ἠτάσθη, κὶ
ἐπιστρέψομεν ἕως Κυρίου·
41 ἀναλάβωμεν καρδίας ἡμῶν ἐπὶ χειρῶν
πρὸς ὑψηλὸν ἐν οὐρανῷ·

42 ἡμαρτήσαμεν, ἠσεβήσαμεν, καὶ οὐχ
ἱλάσθης.
43 Ἐπεσκέπασας ἐν θυμῷ καὶ ἀπεδίωξας
ἡμᾶς· ἀπέκτεινας, οὐκ ἐφείσω.
44 Ἐπεσκέπασας νεφέλην σεαυτῷ ἕνεκεν
προσευχῆς,
45 καμμύσαι με καὶ ἀπωσθῆναι ἔθηκας ἡμᾶς
ἐν μέσῳ τῶν λαῶν.
46 Διήνοιξαν ἐφ' ἡμᾶς τὸ στόμα αὐτῶν
πάντες οἱ ἐχθροὶ ἡμῶν·
47 φόβος καὶ θυμὸς ἐγενήθη ἡμῖν, ἔπαρσις
καὶ συντριβή.
48 ἀφέσεις ὑδάτων κατάξει ὁ ὀφθαλμός μου
ἐπὶ τὸ σύντριμμα τῆς θυγατρὸς τοῦ λαοῦ μου.
49 Ὁ ὀφθαλμός μου κατεπόθη, καὶ οὐ
σιγήσομαι τοῦ μὴ εἶναι ἔκνηψιν,
50 ἕως οὗ διακύψῃ καὶ ἴδῃ Κύριος ἐξ
οὐρανοῦ·
51 ὁ ὀφθαλμός μου ἐπιφυλλιεῖ ἐπὶ τὴν
ψυχήν μου παρὰ πάσας θυγατέρας πόλεως.
52 Θηρεύοντες ἐθήρευσάν με ὡς στρουθίον
πάντες οἱ ἐχθροί μου δωρεάν,
53 ἐθανάτωσαν ἐν λάκκῳ ζωήν μου καὶ
ἐπέθηκαν λίθον ἐπ' ἐμοί.
54 ὑπερεχύθη ὕδωρ ἐπὶ τὴν κεφαλήν μου·
εἶπα· ἀπῶσμαι.
55 Ἐπεκαλεσάμην τὸ ὄνομά σου, Κύριε, ἐκ
λάκκου κατωτάτου·
56 φωνήν μου ἤκουσας· μὴ κρύψῃς τὰ ὦτά
σου εἰς τὴν δέησίν μου.
57 εἰς τὴν βοήθειάν μου ἤγγισας ἐν ἡμέρᾳ, ᾗ

ἐπεκαλεσάμην σε· εἶπάς μοι· μὴ φοβοῦ.
58 Ἐδίκασας, Κύριε, τὰς δίκας τῆς ψυχῆς
μου, ἐλυτρώσω τὴν ζωήν μου·
59 εἶδες, Κύριε, τὰς ταραχάς μου, ἔκρινας
τὴν κρίσιν μου·
60 εἶδες πᾶσαν τὴν ἐκδίκησιν αὐτῶν εἰς
πάντας διαλογισμοὺς αὐτῶν ἐν ἐμοί.
61 Ἤκουσας τὸν ὀνειδισμὸν αὐτῶν, πάντας
τοὺς διαλογισμοὺς αὐτῶν κατ' ἐμοῦ,
62 χείλη ἐπανισταμένων μοι καὶ μελέτας
αὐτῶν κατ' ἐμοῦ ὅλην τὴν ἡμέραν,
63 καθέδραν αὐτῶν καὶ ἀνάστασιν αὐτῶν·
ἐπίβλεψον ἐπὶ τοὺς ὀφθαλμοὺς αὐτῶν.
64 Ἀποδώσεις αὐτοῖς ἀνταπόδομα, Κύριε,
κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτῶν.
65 ἀποδώσεις αὐτοῖς ὑπερασπισμὸν
καρδίας, μόχθον σου αὐτοῖας,
66 καταδιώξεις ἐν ὀργῇ καὶ ἐξαναλώσεις
αὐτοὺς ὑποκάτωθεν τοῦ οὐρανοῦ, Κύριε.

# 4

1 ΠΩΣ ἀμαυρωθήσεται χρυσίον,
ἀλλοιωθήσεται τὸ ἀργύριον τὸ ἀγαθόν;
ἐξεχύθησαν λίθοι ἅγιοι ἀπ' ἀρχῆς πασῶν
ἐξόδων.
2 Υἱοὶ Σιὼν οἱ τίμιοι, οἱ ἐπηρμένοι ἐν
χρυσίῳ, πῶς ἐλογίσθησαν εἰς ἀγγεῖα
ὀστράκινα, ἔργα χειρῶν κεραμέως;
3 Καί γε δράκοντες ἐξέδυσαν μαστούς,
ἐθήλασαν σκύμνοι αὐτῶν· θυγατέρες λαοῦ
μου εἰς ἀνίατον ὡς στρουθίον ἐν ἐρήμῳ.

4 Ἐκολλήθη ἡ γλῶσσα θηλάζοντες πρὸς τὸν
φάρυγγα αὐτοῦ ἐν δίψει· νήπια ᾔτηησαν
ἄρτον, ὁ διακλῶν οὐκ ἔστιν αὐτοῖς.
5 Οἱ ἔσθοντες τὰς τρυφὰς ἠφανίσθησαν ἐν
ταῖς ἐξόδοις, οἱ τιθηνούμενοι ἐπὶ κόκκων
περιεβάλλοντο κοπρίας.
6 Καὶ ἐμεγαλύνθη ἀνομία θυγατρὸς λαοῦ
μου ὑπὲρ ἀνομίας Σοδόμων τῆς
κατεστραμμένης ὥσπερ σπουδῇ, καὶ οὐκ
ἐπόνεσαν ἐν αὐτῇ χεῖρας.
7 Ἐκαθαριώθησαν Ναζιραῖοι αὐτῆς ὑπὲρ
χιόνα, ἔλαμψαν ὑπὲρ γάλα, ἐπυρώθησαν ὑπὲρ
λίθους σαπφείρου τὸ ἀπόσπασμα αὐτῶν.
8 Ἐσκότασεν ὑπὲρ ἀσβόλην τὸ εἶδος αὐτῶν,
οὐκ ἐπεγνώσθησαν ἐν ταῖς ἐξόδοις· ἐπάγη
δέρμα αὐτῶν ἐπὶ τὰ ὀστέα αὐτῶν,
ἐξηράνθησαν, ἐγενήθησαν ὥσπερ ξύλον.
9 Καλοὶ ἦσαν οἱ τραυματίαι ρομφαίας ἢ οἱ
τραυματίαι λιμοῦ· ἐπορεύθησαν
ἐκκεκεντημένοι ἀπὸ γεννημάτων ἀγρῶν.
10 Χεῖρες γυναικῶν οἰκτριρμόνων ἥψησαν
τὰ παιδία αὐτῶν, ἐγενήθησαν εἰς βρῶσιν
αὐταῖς ἐν τῷ συνντρίμματι τῆς θυγατρὸς
τοῦ λαοῦ μου.
11 Συνετέλεσε Κύριος θυμὸν αὐτοῦ, ἐξέχεε
θυμὸν ὀργῆς αὐτοῦ καὶ ἀνῆψε πῦρ ἐν Σιών,
καὶ κατέφαγε τὰ θεμέλια αὐτῆς.
12 Οὐκ ἐπίστευσαν βασιλεῖς γῆς, πάντες οἱ
κατοικοῦντες τὴν οἰκουμένην, ὅτι
εἰσελεύσεται ἐχθρὸς καὶ ἐκθλίβων διὰ τῶν
πυλῶν Ἱερουσαλήμ.

13 Ἐξ ἁμαρτιῶν προφητῶν αὐτῆς, ἀδικιῶν
ἱερέων αὐτῆς τῶν ἐκχεόντων αἷμα δίκαιον ἐν
μέσῳ αὐτῆς.
14 Ἐσαλεύθησαν ἐγρήγοροι αὐτῆς ἐν ταῖς
ἐξόδοις, ἐμολύνθησαν ἐν αἵματι· ἐν τῷ μὴ
δύνασθαι αὐτοὺς ἥψαντο ἐνδυμάτων αὐτῶν.
15 Ἀπόστητε ἐκαθάρτων καλέσατε αὐτούς
ἀπόστητε, ἀπόστητε, μὴ ἅπτεσθε, ὅτι
ἀνήφθησαν καί γε ἐσαλεύθησαν· εἴπατε ἐν
τοῖς ἔθνεσιν· οὐ μὴ προσθῶσι τοῦ παροικεῖν.
16 Πρόσωπον Κυρίου μερὶς αὐτῶν, οὐ
προσθήσει ἐπιβλέπψαι αὐτοῖς· πρόσωπον
ἱερέων οὐκ ἔλαβον, πρεσβύτας οὐκ ἠλέησαν.
17 Ἔτι ὄντων ἡμῶν ἐξέλιπον οἱ ὀοφθαλμοὶ
ἡμῶν εἰς τὴν βοήθειαν ἡμῶν μάταια·
ἀποσκοπευόντων ἡμῶν ἀπεσκοπεύσαμεν εἰς
ἔθνος οὐ σῷζον.
18 Ἐθηρεύσαμεν μικροὺς ἡμῶν τοῦ μὴυ
προεύεσθαι ἐν ταῖς πλατείαις ἡμῶν·19
ἤγγικεν ὁ καιρὸς ἡμῶν, ἐκπληρώθησαν αἱ
ἡμέραι ἡμῶν, πάρεστιν ὁ καιρὸς ἡμῶν.
Κοῦφοι ἐγένοντο οἱ διώκοντες ἡμᾶς ὑπὲρ
ἀετοὺς οὐρανοῦ, ἐπὶ τῶν ὀρέων ἐξέπτησαν,
ἐν ἐρήμῳ ἐνύδρευσαν ἡμᾶς.
20 Πνεῦμα προσώπου ἡμῶν χριστὸς Κυρίου
συνελήφθη ἐν ταῖς διαφθοραῖς αὐτῶν, οὗ
εἴπαμεν· ἐν τῇ σκιᾷ αὐτοῦ ζησόμεθα ἐν τοῖς
ἔθνεσι.
21 Χαῖρε καὶ εὐφραίνου, θύγατερ Ἰδουμαίας
ἡ κατοικοῦσα ἐπὶ γῆς· καί γε ἐπὶ σὲ
διελεύύσεται τὸ ποτήριον Κυρίου καὶ

μεθυσθήσῃ καὶ ἀποχεεῖς.
22 Ἐξέλιπεν ἡ ἀνομία σου, θύγατερ Σιών, οὐ
προσθήσει τοῦ ἀποικίσαι σε. ἐπεσκέψατο
ἀνομίας σου, θύγατερ Ἐδώμ· ἀπεκάλυψεν ἐπὶ
τὰ ἀσεβήματά σου.

# 5

1 ΜΝΗΣΘΗΤΙ, Κύριε, ὅ,τι ἐγενήθη ἡμῖν·
ἐπίβλεψον καὶ ἰδὲ τὸν ὀνειδισμὸν ἡμῶν.
2 κληρονομία ἡμῶν μετεστράφη ἀλλοτρίοις,
οἱ οἶκοι ἡμῶν ξένοις.
3 ὀρφανοὶ ἐγενήθημεν, οὐχ ὑπάρχει πατήρ·
μητέρες ἡμῶν ὡς αἱ χῆραι.
4 ὕδωρ ἡμῶν ἐν ἀργυρίῳ ἐπίομεν, ξύλα
ἡμῶν ἐν ἀλλάγματι ἦλθεν ἐπὶ τὸν τράχηλον
ἡμῶν.
5 ἐδιώχθημεν, ἐκοπιάσαμεν, οὐκ
ἀνεπαύθημεν.
6 Αἴγυπτος ἔδωκε χεῖρα, Ἀσσοὺρ εἰς
πλησμονὴν αὐτῶν.
7 οἱ πατέρες ἡμῶν ἥμαρτον, οὐχ
ὑπάραχουσιν· ἡμεῖς τὰ ἀνομήματα αὐτῶν
ὑπέσχομεν.
8 δοῦλοι ἐκυρίευσαν ἡμῶν, λυτρούμενος
οὐκ ἔστιν ἐκ τῆς χειρὸς αὐτῶν.
9 ἐν ταῖας ψυχαῖς ἡμῶν, εἰσοίσομεν ἄρτον
ἡμῶν, ἀπὸ προσώπου ρομφαίας τῆς ἐρήμου.
10 τὸ δέρμα ἡμῶν ὡς κλίβανος ἐπελιώθη,
συνεσπάσθησαν ἀπὸ προσώπου καταιγίδων
λιμοῦ.
11 γυναῖκας ἐν Σιὼν ἐταπείνωσαν,
παρθένους ἐν πόλεσιν Ἰούδα.

12 ἄρχοντες ἐν χερσὶν αὐτῶν,
ἐκρεμάσθησαν, πρεσβύτεροι οὐκ
ἐδοξάσθησαν.
13 ἐκλεκτοὶ κλαυθμὸν ἀνέλαβον, καὶ
νεανίσκοι ἐν ξύλῳ ἠσθένησαν.
14 καὶ πρεσβύται ἀπὸ πύλης κατέπαυσαν,
ἐκλεκτοὶ ἐκ ψαλμῶν αὐτῶν κατέπαυσαν.
15 κατέλυσε χαρὰ καρδίας ἡμῶν, ἐστράφη
εἰς πένθος ὁ χορὸς ἡμῶν,
16 ἔπεσεν ὁ στέφανος ἡμῶν τῆς κεφαλῆς·
οὐαὶ δὴ ἡμῖν, ὅτι ἡμάρτομεν.
17 περὶ τούτου ἐγενήθη ὀδυνηρὰ ἡ καρδία
ἡμῶν, περὶ τούτου ἐσκότασαν οἱ ὀφθαλμοὶ
ἡμῶν.
18 ἐπ' ὄρος Σιών, ὅτι ἠφανίσθη, ἀλώπεκες
διῆλθον ἐν αὐτῇ.
19 σὺ δέ, Κύριε, εἰς τὸν αἰῶνα κατοικήσεις,
ὁ θρόνος σου εἰς γενεὰν καὶ γενεάν.
20 ἱνατί εἰς νῖκος ἐπιλήσῃ ἡμῶν,
καταλείψεις ἡμᾶς εἰς μακρότητα ἡμερῶν;
21 ἐπίστρεψον ἡμᾶς, Κύριε, πρός σε, καὶ
ἐπιστραφησόμεθα· καὶ ἀνακαίνισον ἡμέρας
ἡμῶν καθὼς ἔμπροσθεν.
22 ὅτι ἀπωθούμενος ἀπώσω ἡμᾶς, ὠργίσθης
ἐφ' ἡμᾶς ἕως σφόδρα.

# Η Παλαιά Διαθήκη κατά τη μετάφραση των εβδομήκοντα (Ο') | SEPTUAGINTA
## The Old Testament in Ancient Greek, Septuagint translation

Public Domain

℗ Orthodox Media Network

Language: Ελληνικά (Greek, Ancient)

Dialect: Koine

ORTHODOX MEDIA NETWORK-ΟΡΘΟΔΟΞΟ ΔΙΚΤΥΟ ΕΝΗΜΕΡΩΣΗΣ
A Voice from the Heart of Mount Athos to the World
Orthodox Media Network (https://vivlos.link/DEqNY) was founded on Mount Athos – the only monastic republic in the world – with main mission to promote the Holy Scriptures and preserve the spiritual and cultural heritage of Orthodox monasticism, using mainly the internet.
Since 2010, its founder and General Secretary, Apostolos Vavylis, has become the first person internationally to record the entire Bible in both the original ancient Greek text and its modern Greek translation.
This work – unprecedented in Orthodox tradition – has reached and inspired millions:
* Over 15 million people (estimated) have listened to at least one chapter of the recorded Bible.

* Hundreds of independent accounts across nearly every digital platform, share these recordings in countless forms.
We have never claimed copyright or demanded takedowns of these reproductions — because our goal is not profit, but the free and faithful dissemination of the Word of God and the blessing it brings to the world.
We welcome anyone that would like to publicly share our work with the only condition to publish the present text as a minimum respect to our mission.
* Our vision:

To place a Bible in every Greek-speaking home, wherever it may be on earth.

There are an estimated 17 million Greeks living in nearly 100 countries.
* If you wish to support or partner with us, please contact:

* vivlos.net@gmail.com

The Old Testament (Septuaginta)
<a href="https://youtube.com/playlist?
list=PLqOoWYKEqRw2J7wlPCGWIYIRdX4G2USZr&si=98IZ8ZkglX6ll-
xI">https://youtube.com/playlist?
list=PLqOoWYKEqRw2J7wlPCGWIYIRdX4G2USZr&si=98IZ8ZkglX6ll-xI
We are a voice of Orthodoxy, a witness of the Word, and a blessing to the Nations.

2026-02-12

---

PDF generated using Haiola and XeLaTeX on 13 Feb 2026 from source files dated 12 Feb 2026
ca02bfb2-f119-5bc3-ba15-888748b9800a